# 29 IUNIE
# GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.APOSTOL PAVEL



# MINEIUL PE IUNIE-GR


ΠΑΥΛΟC

www.tezaurliturgic.ro

θ. Τσουμελέκας

# Ἀκολουθία
# τοῦ Ἁγίου ἐνδόξου καί πανευφήμου
# Ἀποστόλου
# Παύλου
# Ἱδρυτοῦ τῆς Ἐκκλησίας τῶν Θεσσαλονικέων

*Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει*

*ὑπό*

*Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου*

*Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας*

*Ἰουνίου κθ΄.*

*«Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου καί πανευφήμου Ἀποστόλου καί Πρωτοκορυφαίου Παύλου τοῦ οὐρανοβάμονος καί ἱδρυτοῦ τῆς Ἐκκλησίας τῶν Θεσσαλονικέων»*

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

*ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.*

www.tezaurliturgic.ro

*Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Οὐράνιος ἄνθρωπος ἐν γῇ, ἀληθῶς ἐγνώρισαι, οὐρανοβάμον Ἀπόστολε, Παῦλε θεσπέσιε, μετά τήν σήν κλῆσιν, τῶν ἀποκαλύψεων, ὑπερβολῇ τῶν θείων μυούμενος, τά ὑπέρ ἔννοιαν· διά τοῦτο σε γεραίρομεν, ὡς φωστῆρα, Ἐκκλησίας μέγιστον.

Τό σκεῦος Χριστοῦ τῆς ἐκλογῆς, Παῦλος ὁ μακάριος, τῶν Ἀποστόλων ὁ πρόκριτος, ὁ νοῦς ὁ ἔνθεος, καί ἀρχή καί στῦλος, καί σοφός διδάσκαλος, τῆς ἐν Θεσσαλονίκῃ ἐν Πνεύματι, ὑμνολογείσθω μοι, θείοις ᾄσμασιν, ὡς πρεσβεύων, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ὡς ἥλιος ἄλλος ἐπιστάς, καταλαμπρυνόμενος, πυρσῷ χαρίτων τοῦ Πνεύματος, Παῦλε Ἀπόστολε, ἐν Θεσσαλονίκῃ, θείῳ σου κηρύγματι, Χριστοῦ τήν Ἐκκλησίαν συνέστησας, ἐν ταύτῃ πάνσοφε· διά τοῦτο μεγαλύνει σε, ὥσπερ θεῖον ἱδρυτήν καί πρόβολον.

Εἰς ἔθνη φυλάς τε καί λαούς, τοῦ Χριστοῦ ἐκήρυξας, τό ἱερόν Εὐαγγέλιον, Παῦλε Ἀπόστολε, ἀφειδήσας πόνων, διωγμῶν καί θλίψεων, καί πάσης κακουχίας τοῦ σώματος, ἕως οὗ ἅπαντας, τῷ Σωτῆρι προσενήνοχας, σεσωσμένους, τῇ διδασκαλίᾳ σου.

Δόξα. Ἦχος α΄.

Τοῦ Παρακλήτου τό μέγα σκεῦος, ὁ τῶν ἐθνῶν σαγηνευτής ἐν Χριστῷ, Παῦλος ὁ Ἀπόστολος, παρά πάσης γλώσσης, χρεωστικῶς τιμάσθω· πανταχοῦ γάρ ἐφήπλωσε, τῆς σωτηρίας τό κήρυγμα, καί ἐν Θεσσαλονίκῃ γεγονώς, τούς ἐν σκότει καί σκιᾷ τῆς πλάνης καθημένους, τῷ ἀληθινῷ φωτί Χριστῷ προσήγαγε, τῷ δι᾽ αὐτοῦ ἡμῖν παρέχοντι, εἰρήνην καί μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τάς δεήσεις......

## ΑΠΟΣΤΙΧΑ

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Σκεῦος τῆς ἐκλογῆς, Χριστοῦ ὑπάρχων Παῦλε, οὐρανοφοίτης ὤφθης, καί πάσης οἰκουμένης, θεοειδής Ἀπόστολος.

Στίχ.: Εἰς πᾶσαν τήν γῆν.....

Χαίρει τήν ἐν Χριστῷ, χαράν Θεσσαλονίκη, ἡ πόλις φωτισθεῖσα, τῷ λόγῳ σου ὦ Παῦλε, καί πόθῳ μακαρίζει σε.

Στίχ.: Οἱ οὐρανοί διηγοῦνται.....

Ῥείθροις τῶν διδαχῶν, ἀρδεύεις πᾶσαν κτίσιν, ὡς μέγας Χριστοκήρυξ, Ἀπόστολε Παμμάκαρ, τῆς οἰκουμένης καύχημα.

Δόξα. Τριαδικόν.

Φέγγει Τριαδικῷ, λαμπόμενος πλουσίως, Τριάδα τήν Ἁγίαν, ἕνα Θεόν κηρύττεις, Παῦλε πᾶσι τοῖς πέρασι..

Καί νῦν. Θεοτοκίον.

Ὕμνοις σου τό σεπτόν, ὁ θεηγόρος Παῦλος, προέπεμψε τῷ τάφῳ, σῶμα Θεοκυῆτορ, ὑμνῶν σου τήν μετάστασιν.

Νῦν ἀπολύεις, τό τρισάγιον, τό Ἀπολυτίκιον
ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καί ἀπόλυσις.

## *ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ*

*Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια:*

www.tezaurliturgic.ro



Οὐρανόθεν καλέσας σε, ὀπτασίᾳ τῇ κρείττονι, προειδώς ὁ Κύριος τήν σήν πρόθεσιν, καί ἐκλογῆς σκεῦος εὔχρηστον, καί μέγαν Ἀπόστολον, καί διδάσκαλον ἐθνῶν, ἀληθῶς σε ἀνέδειξεν, Παῦλε πάνσοφε, καί ἐν πάσῃ ἐκήρυξας τῇ κτίσει, τῆς αὐτοῦ οἰκονομίας, τό θαυμαστόν Εὐαγγέλιον.

Τῇ ἐλλάμψει τοῦ Πνεύματος, ὡς πολύφωτος ἥλιος, εἰς τήν κτίσιν ἅπασαν Παῦλε ἔλαμψας, καί τῷ σοφῷ σου κηρύγματι, λαούς κατεφώτισας, καί ὡδήγησας αὐτούς, φωτισμῷ τῷ τῆς πίστεως, καί τῆς γνώσεως, τοῦ γνωσθέντος ἡμῖν σαρκός ἐν εἴδει, καί ὑψώσαντος τήν φύσιν, ἡμῶν ζωήν πρός ἀθάνατον.

Ποταμός ὥσπερ μέγιστος, ἐκ Σιών ἐξελήλυθας, ὡς φησί τό λόγιον Παῦλε ἔνδοξε, καί ταῖς ἀρδείαις τῶν λόγων σου, ἀρδεύεις τήν σύμπασαν, πρός ἐπίγνωσιν Χριστοῦ, ὑπομένων ὡς ἄσαρκος, πᾶσαν κάκωσιν, καί ποικίλους κινδύνους δι᾽ ἀγάπην, τοῦ Σωτῆρος θεηγόρε, τοῦ σέ λαμπρῶς θαυμαστώσαντος.

Γεωργῶν τῷ κηρύγματι, καί καθαίρων Ἀπόστολε, ὡς σοφός διδάσκαλος καί γεώργιον, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἐθνῶν τά συστήματα, παρεγένου ἀληθῶς, καί τῷ λόγῳ τῆς χάριτος, κατεφώτισας, ὡς Θεοῦ συνεργός πρός σωτηρίαν, Θεσσαλονικέων Παῦλε, τήν πόλιν ὕμνοις τιμῶσάν σε.

Ὡς σοφόν οἰκονόμον σε, τῆς ποικίλης τοῦ Πνεύματος, χάριτος Ἀπόστολε πολυθαύμαστε, Θεσσαλονίκη χορεύουσα, γεραίρει καί γάννυται· τήν σεπτήν γάρ ἐν αὐτῇ, Ἐκκλησίαν ἀνίδρυσας, ὡς θεόσοφος, ὑποφήτης καί μύστης τῶν ἀρρήτων, καί πανδήμως ἑορτάζει, τήν παναοίδιμον μνήμην σου.

Ἐπαρθείς θείῳ Πνεύματι, εἶδες κάλλη ἀθέατα, καί ἤκουσας ρήματα ὑπερκόσμια, ἅ οὐκ ἐξόν διηγήσασθαι, ἀνθρώπῳ ὡς ἔφησας, καί ἐν πᾶσι θαυμαστός, καί περίδοξος πέφηνας, καί τελέσας σου, τόν ἀγώνα, ἀξίως ἐδοξάσθης, παρά τοῦ Σωτῆρος Παῦλε, οὐρανοβάμον Ἀπόστολε.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὑπέρ ἡλίου αὐγάς ἐξέλαμψεν, ἡ τοῦ οὐρανοβάμονος Παύλου μνήμη, πᾶσαν τήν κτίσιν πυρσεύουσα· τοῦ Τρισηλίου γάρ φωτός, μυσταγωγεῖ τάς ἐλλάμψεις, καί παθῶν σκότος σκεδάζει, καί πάντας συναγείρει βοῆσαι· χαίροις ὁ ἐκ μητρός ἀφωρισμένος Κυρίῳ, καί καιρῷ ἰδίῳ γνούς τό μυστήριον, τῆς αὐτοῦ ἐνανθρωπήσεως· χαίροις ὁ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, μέγας ἐν Ἀποστόλοις ἀναδειχθείς, καί πάσῃ τῇ οἰκουμένῃ κηρύξας, Χριστοῦ τό Εὐαγγέλιον· χαίροις τῆς ἐν Θεσσαλονίκῃ Ἐκκλησίας, ἱδρυτής καί ποιμήν,

www.tezaurliturgic.ro



καί θεμέλιον ἄρρηκτον· ἥν ἀεί περίεπε, τῇ σῇ ἀντιλήψει, Παῦλε 'Απόστολε.

Καί νῦν. 'Ο αὐτός.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ἀνυμνήσει σου, τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς 'Αγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή Παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά 'Αναγνώσματα.

Πρός Θεσσαλονικεῖς α΄. 'Επιστολῆς Παύλου τό 'Ανάγνωσμα.

(Κεφ. α΄. 1-10)

Παῦλος καί Σιλουανός καί Τιμόθεος, τῇ 'Εκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρί καί Κυρίῳ 'Ιησοῦ Χριστῷ· χάρις ὑμῖν καί εἰρήνη ἀπό Θεοῦ Πατρός ἡμῶν, καί Κυρίου 'Ιησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περί πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπί τῶν προσευχῶν ὑμῶν, ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως; καί τοῦ κόπου τῆς ἀγάπης, καί τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καί Πατρός ἡμῶν· εἰδότες, ἀδελφοί ἠγαπημένοι ὑπό Θεοῦ, τήν ἐκλογήν ἡμῶν· ὅτι τό Εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλά καί ἐν δυνάμει, καί ἐν Πνεύματι 'Αγίῳ, καί ἐν πληροφορίᾳ, πολλῇ, καθώς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. Καί ὑμεῖς μιμηταί ἡμῶν ἐγενήθητε καί τοῦ Κυρίου, δεξάμενοι τόν λόγον ἐν θλίψει πολλῇ μετά χαρᾶς Πνεύματος 'Αγίου, ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καί τῇ 'Αχαΐᾳ . 'Αφ' ὑμῶν γάρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καί 'Αχαΐᾳ, ἀλλά καί ἐν παντί τόπῳ ἡ πίστις ὑμῶν ἡ πρός τόν Θεόν ἐξελήλυθεν, ὥστε μή χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. Αὐτοί γάρ περί ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν ἔχομεν πρός ὑμᾶς, καί πῶς ἐπεστρέψατε πρός τόν Θεόν τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καί ἀληθινῷ, καί ἀναμένειν τόν Υἱόν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὅν ἤγειρεν ἐκ νεκρῶν, 'Ιησοῦν, τόν ρυόμενον ἡμᾶς ἀπό τῆς ὀργῆς τῆς ἐρχομένης.

Πρός Θεσσαλονικεῖς β΄. 'Επιστολῆς Παύλου τό 'Ανάγνωσμα.

'Αδελφοί, ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περί ὑμῶν, ὅτι εἵλετο ὑμᾶς ὁ Θεός ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καί πίστει

www.tezaurliturgic.ro



ἀληθείας, εἰς ὅ ἐκάλεσεν ὑμᾶς διά τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε, καί κρατεῖτε τάς παραδόσεις, ἅς ἐδιδάχθητε, εἴτε διά λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν. Αὐτός δέ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καί ὁ Θεός καί Πατήρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καί δούς παράκλησιν αἰωνίαν καί ἐλπίδα ἀγαθήν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τάς καρδίας, καί στηρίξαι ὑμᾶς ἐν παντί λόγῳ καί ἔργῳ ἀγαθῷ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ

Ἦχος α΄.

Τόν θαυμαστόν ἐν Ἀποστόλοις Ἀπόστολον, Παῦλον τόν θεσπέσιον, ὕμνοις καί ᾠδαῖς εὐφημήσωμεν· ἔξω κόσμου γάρ καί σαρκός ἐγένετο, ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, καί τά ὑπέρ φύσιν μυηθείς, πάντα τούς Ἀποστόλους ὑπερηκόντισεν, ἐν τῷ ζήλῳ τῆς πίστεως, καί πᾶσαν τήν γῆν περιέλαβεν, ἐν τῷ θείῳ κηρύγματι· οὗ καί ἡ Θεσσαλονικέων πόλις μετασχοῦσα, τῷ Χριστῷ προσενήνεκται, ὡς σχοίνισμα ἱερόν, τῷ παρέχοντι πᾶσι τό μέγα ἔλεος.

Ἦχος β΄.

Ἀπ' οὐρανοῦ δεδεγμένος τήν κλῆσιν, οὐρανοβάμον ὤφθης ἐν ἅπασι, Παῦλε πανθαύμαστε· καί μέχρι τρίτου οὐρανοῦ ἀρθεῖς τῷ Πνεύματι, εἰς ἀπορρήτους ἀποκαλύψεις ἐλήλυθας, καί ὑψηλῶν θεωριῶν, θεάμων ἐγένου· ἐν τῷ Χριστῷ γάρ ἔζης μακάριε, ὅν ἐκ ψυχῆς ἠγάπησας, καί τῆς αὐτοῦ οἰκονομίας τό μυστήριον, ἐν δυνάμει λόγου καί σοφίας ἐκήρυξας· διό πάντες οἱ ἐξ ἐθνῶν, ὁμολογοῦμέν σοι χάριν· ὅτι ἡμᾶς ἐξήγαγες, ἐκ νυκτός τῆς πλάνης, πρός τό θαυμαστόν φῶς, τῆς θείας ἐπιγνώσεως.

Ἦχος γ΄.

Τῇ θεορρήμονι γλώσσῃ σου, πλεῖστα ἔθνη Χριστῷ προσήγαγες, ὡς ὀψώνιον τερπνόν, πολυθαύμαστε Παῦλε, καί περιούσιον λαόν αὐτῷ ἀνέδειξας, τούς φωτισθέντας τῷ λόγῳ σου· καί θείῳ κινούμενος Πνεύματι, ἐν Θεσσαλονίκῃ ἐπέστης, καί κλῆρον θεῖον, καί μερίδα ἐκλεκτήν, ταύτην εἰργάσω Κυρίῳ, ὡς νυμφαγωγός ἄριστος, τῆς ἐξ ἐθνῶν Ἐκκλησίας· ἔνθεν κατά χρέος, ἑορτάζει τήν μνήμην σου.

Ἦχος δ΄.

Ὅλην τήν κτίσιν διαδραμών, ὡς τετρωμένος τῷ ἔρωτι, τῆς τοῦ Χριστοῦ

www.tezaurliturgic.ro



ἀγάπης, οὐρανοφοῖτα Παῦλε ᾿Απόστολε, πάντας διήγειρας πρός γνῶσιν τῶν κρειττόνων, καί κτῆσιν τῆς αἰωνίου σωτηρίας, διά τοῦ αἵματος Χριστοῦ τοῦ Θεοῦ· ὅθεν πάντα τά ἔθνη, ὕμνον χαριστήριόν σοι ᾄδομεν λέγοντες· Πρέσβευε πάντοτε Κυρίῳ, ρύεσθαι ἡμᾶς πάσης θλίψεως.

Ἦχος ὁ αὐτός.

Θεσσαλονίκη ἡ περίδοξος πόλις, καί σύν αὐτῇ πᾶσα ἡ ῾Ελλάς χορεύει, ἐν τῇ εὐσήμῳ μνήμῃ σου, πολυύμνητε Παῦλε ᾿Απόστολε· παγκόσμιος φωστήρ γάρ ὤφθης, καί ἐξ ἀναξίων ἀξίους Χριστῷ προσήγαγες, καί λαόν περιούσιον Κυρίῳ, κατασκευασμένον τῷ λόγῳ τῆς χάριτος, τούς πρίν πλανωμένους ἐν σκολιαῖς τῆς ἀπωλείας τρίβους, ἀπέδειξας πολύσοφε. Διό πᾶσαι αἱ ὑπό σοῦ συγκροτηθεῖσαι, χρεωστικῶς ἀνυμνοῦσί σε, δοξάζουσαι Χριστόν, τόν σέ μεγαλύναντα.

Καί νῦν. Θεοτοκίον.

᾿Εκ παντοίων κινδύνων.....

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις σκεῦος Χριστοῦ ἐκλογῆς, οὐρανοβάμον θεηγόρε ᾿Απόστολε, ὁ μύστης τῶν ἀπορρήτων, ὁ τοῖς πιστοῖς μυστικῶς, ἁρπαγῆς γνωρίσας τό μυστήριον· πολύφωτε ἥλιε, νοητοῦ στερεώματος, ὁ καταυγάζων, οἰκουμένης τά πέρατα, ταῖς ἐλλάμψεσι, τοῦ ἐνθέου κηρύγματος· ὄργανον παναρμόνιον, δογμάτων τῆς πίστεως, στόμα τό θεῖον λαλῆσαν, τά ὑπέρ λόγον μυστήρια· Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ὑμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ: Εἰς πᾶσαν τήν γῆν.....

Χαίροις ὁ ὑπερκόσμιος νοῦς, ὁ τά τοῦ κόσμου ἡγησάμενος σκύβαλα, καί μόνον Χριστόν κερδῆσαι, ἐπιποθήσας θερμῶς, ἀλογήσας πάντων θείῳ ἔρωτι· ἐντεῦθεν πεπλήρωσαι, οὐρανίων ἐλλάμψεων, καί ὑποφήτης, τῆς τοῦ Λόγου κενώσεως, ἐνθεώτατος, ἀληθῶς ἐχρημάτισας· ὅθεν καί ὑπερβέβηκας, ὡς ἄσαρκος ἄνθρωπος, Εὐαγγελίου τοῖς πόνοις, ἅπαντας Παῦλε θεσπέσιε. Καί νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

www.tezaurliturgic.ro



Στίχ: Οἱ οὐρανοί διηγοῦνται.....

Γράφων καί ἐπιστέλλων σοφέ σωτηριώδεις διδαχάς θείῳ Πνεύματι, πιστοῖς Θεσσαλονικεῦσιν, οἷα υἱέσι πατήρ, Παῦλε Ἀποστόλων ἐγκαλλώπισμα, τόν ζῆλον τῆς πίστεως, καί τόν βίον τόν ἔνθεον, αὐτῶν κηρύττεις, καί ἀγάπην ἥν δείκνυσιν, ὁ Σωτήρ ἡμῶν, πρός αὐτούς ὡς Φιλάνθρωπος· ὅθεν ἀγαλλομένη σε, γεραίρει τοῖς ἄσμασι, Θεσσαλονίκη ἡ πόλις, οἷα μερίς σου ἀπόλεκτος· ᾗ δίδου ὑψόθεν, ταῖς θερμαῖς σου ἱκεσίαις, χάριν καί ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῷ λόγῳ τῆς χάριτος, ὑπήκοα Χριστῷ παρέστησας, τά ἔθνη πάντα, πολυθαύμαστε Παῦλε Ἀπόστολε· καί τούς πρῴην ἀπειθεῖς, ὡς υἱούς τῆς ἀπωλείας, μεταβαλών θαυμαστῶς, τῷ αἵματι Χριστοῦ σημειωσάμενος, κληρονόμους ἔδειξας, τῆς οὐρανῶν βασιλείας· διό πᾶσα γλῶσσα, εὐγνωμόνως σε μακαρίζει, κομιζομένη διά σοῦ, παρά Χριστοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε....

Νῦν ἀπολύεις, τό τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς Ἀπόστολον μέγαν καί διδάσκαλον ἔνθεον, ἡ Θεσσαλονίκη τιμᾷ σε, θεῖε Παῦλε θεσπέσιε· τήν ταύτης Ἐκκλησίαν γάρ σοφέ, συνέστησας ἁγίαις διδαχαῖς, καί ἐκ πάσης ἀπαλλάττεις ἐπιφορᾶς, βοῶσάν σοι ἑκάστοτε· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ μεγαλύναντι, δόξα τῷ χορηγοῦντι διά σοῦ, χάριν ἡμῖν καί ἔλεος.

Ἕτερον: Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ὡς ἥλιος μέγιστος, Εὐαγγελίου τό φῶς, ἐκλάμπεις τοῖς ἔθνεσι, καί καταυγάζεις λαούς, Ἀπόστολε ἔνδοξε· ὅθεν Θεσσαλονίκη, ἡ περίδοξος πόλις, Παῦλε οὐρανοβάμον διά σοῦ φωτισθεῖσα, κηρύττει σου τήν χάριν,

www.tezaurliturgic.ro



καί μέλπει τούς ἀγῶνάς σου.

Θεοτοκίον.
Τό ἀπ᾿ αἰῶνος ἀπόκρυφον.....

᾿Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α΄. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.*

῾Ο μέγας ποταμός, τῶν Θεοῦ χαρισμάτων, ἐκ στόματος τοῦ σοῦ, ἀναβλύζων πλουσίως, ἀρδεύει κόσμον ἅπαντα, γεωργίαν πρός κρείττονα· ὅθεν πήγασον, κἀμοί ᾿Απόστολε Παῦλε, τό ἀλλόμενον, ὕδωρ ζωῆς πρός ἀγήρω, τῷ σέ μακαρίζοντι.

Θεοτοκίον.

῾Ο Λόγος τοῦ Θεοῦ, ὁ τό πᾶν οὐσιώσας, οὐσίωται· ῾Αγνή, ἐξ αἱμάτων σου θείων, ἀτρέπτως ὑπέρ ἔννοιαν, καί βροτός κόσμῳ πέφηνε, καί ᾿Απόστολον, ἀπό διώκτου δεικνύει, Παῦλον Ἄχραντε, καί ἐκλογῆς σκεῦος θεῖον, αὐτόν ἀπειργάσατο.

*Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ΄. Ταχύ προκατάλαβε.*

᾿Ακτῖσι τῶν λόγων σου, φωταγωγεῖς πᾶσαν γῆν, καί τούτων τῆς χάριτος, Θεσσαλονίκη σοφέ, ἐνθέως μεθέξασα, ἄγει πανευφροσύνως, τήν ἁγίαν σου μνήμην, μέλπουσα τούς πολλούς σου, δρόμους πόνους καί ἄθλους, δι᾿ ὧν Παῦλε Κυρίῳ, τούς πάντας ὑπήγαγες.

Θεοτοκίον.

᾿Αφράστως κυήσασα, τόν Ποιητήν τοῦ παντός, τόν κόσμον ἀπήλλαξας, ἐκ τῆς ἀρχαίας ἀρᾶς, τῷ τόκῳ σου Ἄχραντε· ὅθεν κἀμέ παντοίων, λογισμῶν

www.tezaurliturgic.ro

ἀκαθάρτων, ἀπάλλαξον Θεοτόκε, ὡς πηγή εὐσπλαχνίας, καί δίδου καθ' ἑκάστην, μετάνοιάν μοι Δέσποινα.

*Μετά τόν Πολυέλεον, Κάθισμα.*
*Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.*

Ἐκλογῆς οἷα σκεῦος θείας λαμπρόν, τῶν ἐθνῶν θεοφόρος σαγηνευτής, καί μέγας διδάσκαλος, ἀνεδείχθης ἐν Πνεύματι, καί μύστης τῶν ἀρρήτων, δογμάτων τῆς χάριτος, χειραγωγῶν ἐν λόγῳ, πρός γνῶσιν σωτήριον· ὅθεν καί εἰς τρίτον, οὐρανόν ὡς ἐπήρθης, ἡμῶν τήν διάνοιαν, πρός οὐράνιον ἔρωτα, ἐκκαλεῖς Παῦλε ἔνδοξε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Τόν Θεόν τῶν ἁπάντων μετά σαρκός, ἀπορρήτως τεκοῦσα ὑπερφυῶς, Ἀδάμ τόν πρωτόπλαστον, τῆς ἀρᾶς ἠλευθέρωσας, καί τῆς ἀθανασίας, τήν τρίβον ἠνέῳξας, τοῖς ἀνυμνοῦσι Κόρη, τόν ἄφραστον τόκον σου· ὅθεν καί Ἀγγέλων, ἀσυγκρίτως τῆς δόξης, ἐπήρθης καί ἄνασσα, οὐρανοῦ καί γῆς γέγονας, οἷα Μήτηρ τοῦ Κτίσαντος, Πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ, τῶν πταισμάτων δοῦναι τήν συγχώρησιν, τοῖς καταφεύγουσι πίστει, τῇ σῇ ἀγαθότητι.

*Τό α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου, καί τό Προκείμενον.*
*Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καί εἰς τά ....*
*Στίχ.: Οἱ οὐρανοί διηγοῦνται.....*
*Εὐαγγέλιον ζήτει τῷ Σαββάτῳ τῆς ζ΄. Ἑβδομάδος Λουκᾶ.*
*Ὁ Ν. Δόξα. Ταῖς τοῦ Ἀποστόλου.*
*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*
*Ἰδιόμελον. Ἦχος πλ. β΄.*

Στίχ.: Ἐλέησόν με ὁ Θεός......

Παῦλε Ἀπόστολε, ὁ τῶν ἀπορρήτων μύστης, καί τῆς οἰκουμένης πάσης διδάσκαλος, τῆς δέ Θεσσαλονικέων Ἐκκλησίας βάσις ἄρρηκτος, ἀνακεκαλυμμένως τήν δόξαν Χριστοῦ ὁρῶν, καί τοῦ θείου αὐτοῦ κάλλους κατατρυ-

φῶν, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τούς σέ μακαρίζοντας.

*Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου...*

*Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, καί τοῦ Ἀποστόλου οὗ ἡ ἀκροστιχί*

*«Θεσσαλονίκη μέλπει σε Παῦλε. Γερασίμου».*

Ὠδή α´. Ἦχος β´. Ἐν βυθῷ κατέστρωσε.

Θεσσαλονικέων οἱ χοροί, ᾄσματα ἑόρτια, τῷ θεορρήμονι Παύλῳ προ σοίσωμεν, τοῦτον μακαρίζοντες, ὡς τό φῶς ἡμῖν, τῷ κηρύγματι λάμψαντα τῆς θεογνωσίας, καί πρός τόν Χριστόν καθοδηγήσαντα.

Ἐκ Φιλίππων Πνεύματι Θεοῦ, Παῦλε ὁδηγούμενος, Θεσσαλονίκην τή πόλιν κατέλαβες, καί τήν ἀπολύτρωσιν, θείῳ στόματι, ἐν αὐτῇ ἀνεκήρυξας τήν γεγενημένην, διά τοῦ Χριστοῦ τῇ ἀνθρωπότητι.

Σέ ὡς σκεῦος ὄντως ἐκλεκτόν, ὁ Χριστός ἐκάλεσεν, ἐπιφανείς ἐν ὁδῷ ὅν ἐδίωκες· ὅθεν εἰσδεξάμενος, χάριν ἄφθονον, παρ᾽ αὐτοῦ Παῦλε ἔνδοξε ὤφθης ὑπερέχων, πάντων Ἀποστόλων ἐν τοῖς σκάμμασι.

Θεοτοκίον.

Σαρκωθείς ἐν μήτρᾳ σου Ἁγνή, ὁ πανυπερούσιος, ἀναλλοιώτως δι᾽ οἶκτον ἀμέτρητον, κόσμῳ πεφανέρωται, ὥσπερ ἄνθρωπος, καί τόν ἄνθρωπον ἔσωσεν· ὅθεν ὡς Μητέρα, τοῦ Θεοῦ ὑμνοῦμέν σε πανάφθορον.

Ὠδή γ´. Ἐξήνθησεν ἡ ἔρημος.

Ἀκτῖσι τοῦ κηρύγματος, ὥσπερ μέγας ἥλιος, φωταγωγεῖς τήν σύμπασαν, οἰκουμένην Παῦλε Ἀπόστολε, καί διώκεις τό σκότος τό ψυχόλεθρον.

Λαμπτῆρα σε πολύφωτον, καί σοφόν ἐκφάντορα, τῆς εὐσεβείας ἔχουσα, Θεσσαλονίκη Παῦλε Ἀπόστολε, κατά χρέος νυνί ἄγει τήν μνήμη σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Παρθενία καί τόκος ἀπόρρητος, ἐν σοί διαλάμπουσι Παρθένε Ἄχραντε· Θεόν γάρ ἐσωμάτωσας, τόν ποιοῦντα παράδοξα πράγματα.

Κοντάκιον. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Ὡς φωστῆρα μέγαν σε Θεσσαλονίκη, εὐφημεῖ γεραίρουσα, χαριστηρίοις ἐν ᾠδαῖς, οὐρανοφοῖτα Ἀπόστολε, Παῦλε παμμάκαρ ἐθνῶν ὁ διδάσκαλος.

Ὁ Οἶκος.

Καταυγασθείς τῷ φωτισμῷ, τῆς θείας ἐμφανείας, ἀπό διώκτου μαθητής, Χριστοῦ σοφός ἐδείχθης, καί τῶν ἐθνῶν Ἀπόστολος, καί μέγιστος διδάσκαλος, τῶν ἱερῶν δογμάτων, τῆς μετά σαρκός οἰκονομίας, τοῦ ὑπέρ ἡμῶν σωματωθέντος Ὑπερουσίου Λόγου, πάνσοφε μυσταγωγέ τῶν θείων μυστηρίων· καί πανταχοῦ κηρύττων τῆς οὐρανῶν Βασιλείας τό Εὐαγγέλιον, καί ἐξ ἀναξίων ἀξίους Χριστῷ προσάγων ἔθνη, λαούς καί φυλάς, ἐν Θεσσαλονίκῃ παρεγένου, καί ταύτην υἱοθετήσας τῷ ἀθανάτῳ Βασιλεῖ καί Θεῷ, οὐρανοφοῖτα Ἀπόστολε, Παῦλε παμμάκαρ, ἐθνῶν ὁ διδάσκαλος.

*Συναξάριον.*

*Τῇ κθ´. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου καί πανευφήμου Ἀποστόλου καί πρωτοκορυφαίου Παύλου τοῦ οὐρανοβάμονος καί ἱδρυτοῦ τῆς Ἐκκλησίας τῶν Θεσσαλονικέων.*

*Στίχ.: Καί Θεσσαλονίκη δοξάζει σε Παῦλε*
*Ἐκ σοῦ γάρ ἐδέξατο φῶς σωτηρίας.*

*Μεγαλήτωρ Παῦλος εἰκάδι ἐνάτη δέξατο τομήν.*

*Ταῖς αὐτοῦ πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠδή ζ´. Ἀντίθεον πρόσταγμα.

www.tezaurliturgic.ro



Ἀνοίξας τό στόμα σου Παῦλε θεόφραστον, λαμπρῶς ἀνεκήρυξας, τήν ὑπέρ λόγον κένωσιν, Χριστοῦ τοῦ Παντάνακτος, Θεσσαλονίκη ποτέ· ὅθεν σε γεραίρομεν, Θεσσαλονικέων παῖδες γηθόμενοι.

Ὑδάτων κατάρρυτος ποταμός ὤφθης, τῷ λόγῳ τῆς χάριτος, λαμπρῶς περικλυζόμενος, καί ἅπαντα ἤρδευσας, πρός σωτηρίαν σοφέ, ἔθνη τά πολύσπορα, Παῦλε οὐρανοβάμον Χριστοῦ Ἀπόστολε.

Λαμπτῆρα παγκόσμιον καί θεῖον στόμα, τό Πνεῦμα τό Ἅγιον, ὡς ἀληθῶς σε ἔδειξεν· Χριστόν ἔνθεν ἅπασιν, ἀνακηρύττεις σαφῶς, Παῦλε θεομακάριστε, τῆς οἰκουμένης πάσης μέγιστον καύχημα.

Θεοτοκίον.

Ἐκ σοῦ ἀνατέταλκε δικαιοσύνης, ὁ ἄδυτος Ἥλιος, σαρκός ἐν ὁμοιώματι, καί κόσμον ἐφώτισε θεογνωσίας φωτί· ὅθεν κἀμέ φώτισον, Παρθένε Θεοτόκε τῇ σῇ λαμπρότητι.

Ὠδή η΄. Τόν ἐν καμίνῳ.

Γνώσει ἐκλάμπων θεϊκή, πᾶσι γέγονας τά πάντα θεῖε Παῦλε, ἵνα πάντας κερδήσῃς, καί προσαγάγῃς Χριστῷ, καί τούτῳ ἀληθῶς προσήγαγες, μικροῦ πᾶσαν κτίσιν, κηρύγματι τῷ θείῳ.

Ἐν ραβδισμοῖς δοκιμασθείς, ἐν δεσμοῖς ἐν λιθασμοῖς ἐν ναυαγίοις, ἀκατάβλητος ὤφθης, ἐν τῇ ἀγάπῃ Χριστοῦ, ὦ Παῦλε οὐράνιε ἄνθρωπε, καί τῶν ὑπέρ φύσιν, βραβείων ἠξιώθης.

Ρώμη ἡ πόλις ἡ λαμπρά, μετασχοῦσα τοῦ κηρύγματός σου Παῦλε, τῶν στερρῶν σου ἀγώνων, εἶδε τό πέρας σοφέ, καί τέλος τό ἅγιον πάνσοφε, καί τῶν σῶν αἱμάτων, τοῖς ρείθροις κατηρδεύθη.

Θεοτοκίον.

Ἀκαταφλέκτως ἐν γαστρί, δεξαμένη τῆς Θεότητος τήν φλόγα, ἐν δυσί ταῖς οὐσίαις, τέτοκας Κόρη Χριστόν, μιᾷ ὑποστάσει δέ Πάναγνε ὅθεν ἀνυμνοῦμεν, τόν ἄφραστόν σου τόκον.

www.tezaurliturgic.ro



Ὠδή θ΄. Ἀνάρχου Γεννήτορος.

Σταυρῷ τοῦ Κυρίου σου, καυχώμενος μακάριε, καί κλοιά καί ἁλύσεις φέρων ἑκάστοτε, οἷάπερ πολύτιμον κόσμον, ὑπέρ τοῦ θείου σου διδασκάλου, πρός τοῦτον ἀνέδραμες, ἐκτμηθείς Παῦλε τήν κάραν σου.

Ἰδών τήν λαμπρότητα, καί κάλλος τό ἀμήχανον, καί τήν ἄϋλον δόξαν καί ἀνεκλάλητον, τοῦ σοῦ διδασκάλου ὦ Παῦλε, ὥσπερ ἐπόθεις ἀπό καρδίας, τῶν πόνων τά ἔπαθλα, ἀποδρέπῃ ἀγαλλόμενος.

Μυρίοις ὡμίλησας, ἀγῶσί τε καί θλίψεσι, κατά χώρας καί πόλεις Παῦλε Ἀπόστολε, ὑπέρ τοῦ Εὐαγγελίου τῆς δόξης, ὡς τετρωμένος Χριστοῦ τῷ πόθῳ· διό Ἐκκλησίαι σε, τῶν ἐθνῶν πᾶσαι γεραίρουσιν.

Ὁ μέγας Ἀπόστολος, καί νυμφοστόλος ἄριστος, τῆς Χριστοῦ Ἐκκλησίας Παῦλε θεσπέσιε, Θεσσαλονικέων τό γέρας, καί οἰκουμένης πάσης τό κλέος, ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν ἀνευφημούντων σε.

Θεοτοκίον.

Ὑμνοῦμεν τοῦ τόκου σου, τό ἄφραστον μυστήριον, Θεοτόκε Παρθένε· Θεόν γάρ τέτοκας, ἀπερινοήτως μηδόλως, τραπέντα ὅ ἦν καί κόσμον, δι᾿ οἶκτον ρυσάμενον, τῆς ἀρχαίας παραβάσεως.

Ἐξαποστειλάριον: Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἐν Ἀποστόλοις μέγιστος, καί σοφός θεηγόρος, καί ὄργανον θεόπνευστον, μυστηρίων τῶν θείων, ὡς ἀληθῶς ἀνεδείχθης, Παῦλε οὐρανοβάμον, καί πᾶσαν γῆν διέδραμες, τόν Σωτῆρα κηρύττων, λόγῳ σοφῷ· διό παρά Κυρίου ἐμεγαλύνθης, ᾧ πρέσβευε δεόμεθα, ὑπέρ τῶν σέ τιμώντων.

Θεοτοκίον.

Θεογεννῆτορ Δέσποινα, τῶν Ἀγγέλων ἡ δόξα, καί τῶν βροτῶν διάσωσμα, καί θερμή προστασία, τῶν ἀφορώντων ἀπαύστως, πρός τήν σήν θερμήν σκέπην, πάσης μανίας λύτρωσαι, τοῦ πικροῦ βροτοκτόνου ὡς συμπαθής, τούς ἀπό καρδίας ἀεί Παρθένε, ζητοῦντας μετά πίστεως, τήν σεπτήν σου πρεσβείαν.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τό πολυτίμητον σκεῦος τῆς ἐκλογῆς τοῦ Χριστοῦ, τόν μέγαν ὑποφήτην, μυστηρίων τῶν ἄνω, καί θεῖον μυστογράφον τῆς ὑπέρ νοῦν, τοῦ Σωτῆρος σαρκώσεως, ἀνευφημήσωμεν ᾄσμασιν ἱεροῖς, Παῦλον πάντες τόν ᾿Απόστολον.

Εὐαγγελίου τόν λόγον λαοῖς καί ἔθνεσιν, οὐρανοβάμον Παῦλε, ἐν σοφίᾳ κηρύττων, ἐν τῇ Θεσσαλονίκῃ ἐπέστης σοφέ, καί αὐτήν καθωδήγησας, ἐπί τό φῶς θεηγόρε τῆς τοῦ Χριστοῦ, σωτηρίου ἐπιγνώσεως.

Τίς τούς ἀγῶνάς σου Παῦλε ἐκδιηγήσεται; ὡς ἄσαρκος. γάρ πόνους, διωγμούς τε καί θλίψεις, ὑπέστης δι᾿ ἀγάπην τήν τοῦ Χριστοῦ, ἀνενδότῳ φρονήματι· ἔνθεν ἐθνῶν ᾿Εκκλησίαι αἱ ὑπό σοῦ, κροτηθεῖσαι εὐφημοῦσί σε.

Καθάπερ ἥλιος μέγας, πᾶσαν πυρσεύεις τήν γῆν, οὐρανοφοῖτα Παῦλε, ᾿Αποστόλων ἡ δόξα· διό Θεσσαλονίκη χρεωστικῶς, ἑορτάζει τήν μνήμην σου, ὡς ἱδρυτήν ᾿Εκκλησίας τῆς ἐν αὐτῇ, ἀνυμνοῦσά σε μακάριε.

Δόξα. Ἦχος πλ. α΄.

Τό πῦρ τῆς τοῦ Χριστοῦ ἀγάπης, ἐν τῇ ψυχῇ δεξάμενος, παγκόσμιος φωστήρ ἀνεδείχθης, οὐρανοβάμον Παῦλε ᾿Απόστολε· ᾧ τῶν ἀγώνων σου, ὑπέρ τῆς δόξης τοῦ Εὐαγγελίου πλεῖον γάρ τῶν λοιπῶν ᾿Αποστόλων ἐκοπίασας, τό μυστήριον τοῦ Σταυροῦ, ἐν τῷ θνητῷ σώματί σου ὑπεμφαίνων. ᾿Αλλ᾿ ὡς ἐπαξίων ἐπάθλων ἀξιωθείς, κατά τήν δόξαν τοῦ Χριστοῦ ἀνακεκαλυμμένως ὁρῶν, πρέσβευε ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν Θεοτοκίον.

Μακαρίζομέν σε....

Δοξολογία μεγάλη καί Απόλυσις

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

www.tezaurliturgic.ro



*Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον ὅρα Μηνολόγιον.*
*Κοινωνικόν: Εἰς πᾶσαν τήν γῆν....*
*Μεγαλυνάριον.*

Χαίρεις Ἀποστόλων ἡ καλλονή, καί Θεσσαλονίκης Ἐκκλησίας ὁ ἱδρυτής, Παῦλε θεηγόρε, ὑπερκοσμίων μύστα, ὡς ἐκλογῆς Κυρίου, σκεῦος ὑπέρτιμον.

Δίστιχον.
Παῦλε θεόσοφε καί τόνδε τόν ὕμνον
Ὅν σοι Γεράσιμος ἐξύφανεν δέξαι.